www.tezaurliturgic.ro

# Κδ΄ Οἶκοι

# εἰς τοὺς Ἁγίους

# Σέργιον καὶ Βάκχον

τοὺς Μεγαλομάρτυρας:~

+ Ἱερὰ Μονὴ Σίμωνος Πέτρας + Ἅγιον Ὄρος Ἄθως +

ΑΛΠΠ

www.tezaurliturgic.ro

12541

# ΧΑΙΡΕΤΙΣΜΟΙ,ΣΥΝ ΘΕΩ ΑΓΙΩ,ΤΩΝ ΑΓΙΩΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΣΕΡΓΙΟΥ & ΒΑΚΧΟΥ

Κοντάκιον.Ἦχος πλ.δ.Τῇ Ὑπερμάχῳ.

Τούς ἐπικήρου ἀλογήσαντας στρατείας
καί τῷ Χριστῷ ὡς βασιλεῖ ὑποταγέντας,
τῶν αἱμάτων χύσει δέ μάρτυρας ὀφθέντας,
ἀνυμνήσωμεν πιστοί,τούτοις κραυγάζοντες,
νῦν προσδέξασθε τούς οἴκους οὕς προσάγομεν
καρτερόψυχοι,Βάκχε Σέργιε χαίρετε.

Οἱ Οἶκοι

Ἄνω αἱ τῶν Ἀγγέλων στρατιαί χαρμοσύνως,ἀμάραντα βαστάζουσι στέφη(γ.)
Κάτω δέ αἱ χορεῖαι τῶν πιστῶν Ἀθληφόροι,τούς ἄθλους ὑμῶν γεραίρουσι καί τήν ἀνδρικωτάτην ἔνστασιν ἥν ἐπεδείξατε θαυμάζοντες,βοῶσι γηθοσύνως τάδε·

Χαῖρε Σέργιε ὁ λάμψας ὡς ἀστήρ ἑωθινός
χαῖρε Βάκχε θεῖε λάτρα τοῦ ἀληθινοῦ Φωτός.
Χαῖρε τῶν στρατευομένων Πριμηκήριε γενναῖε
χαῖρε τῶν ὁπλιζομένων σεκουνδικήριε ἑδραῖε.
Χαῖρε ὁ ἐκγυμνάζων τούς πιστούς πρός πεντάθλους
χαῖρε ὁ ἐνισχύων ἐν Χριστῷ τούς συνάθλους.
Χαῖρε Σέργιε τῷ ξίφει τέμνεις δαίμονας ἐχθρούς
χαῖρε Βάκχε ὡς ἀσπίδα ἔχομεν σούς αἰκισμούς.
Χαῖρε ὁ ἀποσκυβαλίσας τήν στρατείαν τοῦ κόσμου
χαῖρε ὁ τόν θεῖον πόθων ἀεί βάλλων ἐντός μου
Βάκχε Σέργιε χαίρετε.

ΒΙΒΛΙΟΘΗΚΗ Ι. Μ. ΣΙΜΩΝΟΠΕΤΡΑΣ

www.tezaurliturgic.ro

Βλέποντες οἱ γενναῖοι τήν μανίαν ὀργῶσαν, εἰδώλων συμπατοῦσι τήν πλάνην, καί μιᾷ ψυχῇ, τό ἕν πνέοντες, ὁρμῶσι πρός τό θεῖον σκάμμα, ὡς νικητήριον παιᾶνα ᾄδοντες ὁμοῦ τό·

'Αλληλούϊα.

Γνόντες τήν τοῦ Κυρίου ἐνανθρώπησιν Βάκχε, χωρήσωμεν πρός ὁμολογίαν καί μηδέν δειλιῶντες, Υἱόν Θεοῦ Αὐτόν τοῖς ἔθνεσι κηρύξαντες, δεξόμεθα παρά πιστῶν τοιούσδε ὕμνους·

Χαῖρε ὁ στερεμνίως θεολογήσας τόν Χριστόν
χαῖρε ὁ στεντορείως ὁμολογήσας πρό ἐθνῶν.
Χαῖρε Σέργιε τρυφήσας τῶν Γραμμάτων τῶν θείων
χαῖρε Βάκχε ταῦτα ἔχων φωτισμόν καί λογεῖον.
Χαῖρε σῶφρον, ἐμπορίαν ἐξασκήσας ἀρίστην
χαῖρε ἔμφρον, λατρείαν ἐφευρών τήν μεγίστην.
Χαῖρε Σέργιε κλῆρον τόν Σταυρόν μόνον θέλων
χαῖρε Βάκχε ἀδάμα, ὑπερλάμπεις ὑέλων.
Χαῖρε τοῦ ἀθανάτου Βασιλέως ὑπέρμαχε
χαῖρε τοῦ ἀδελφοῦ σου ἐν Χριστῷ θεῖε σύμμαχε.
Χαῖρε Σέργιε φθονόβλητε τοῦ Θεοῦ σου μιμητά
χαῖρε Βάκχε θεοείκελε ἐνωτίζου ἐν χαρᾷ,

Βάκχε Σέργιε χαίρετε.

Δύναμιν ἀσθενείας περικείμεθα Βάκχε, διό ἀποδυσώμεθα ταύτην, καί τήν ἄμαχον πανοπλίαν κατά Παῦλον φορέσαντες, τόν ἄρχοντα τοῦ σκότους ἐν τῷ μαρτυρίῳ θεοπρεπῶς ἀποπνίξωμεν ψάλλοντες·

'Αλληλούϊα.

Ἔθυον τῷ Κυρίῳ οἱ Χριστώνυμοι ἄνδρες, εὐχήν ὥσπερ σπονδήν εὐοσμίας, τῶν εἰδώλων δέ προασπισταί, ἀθλίως κατ' αὐτῶν ἐμαίνοντο, τήν εὐφημίαν ὅλως μή γινώσκοντες, ἥν πρός αὐτούς νυνί βοῶμεν·

Χαῖρε ὀλιγωρήσας φθειρομένης φιλίας
χαῖρε ὁ προτιμήσας τάς ὁδούς τάς εὐθείας.
Χαῖρε Σέργιε ὁ ἔμπνους τοῦ Κυρίου σου ναός
χαῖρε Βάκχε θείαν κλῆσιν ἐργαζόμενος συχνῶς.

www.tezaurliturgic.ro

Χαῖρε ὁ ἔξω μείνας τοῦ τεμένους εἰδώλων
χαῖρε ὁ ἐδαφίσας διδαχάς τῶν ἐώλων.
Χαῖρε Σέργιε ἐργάτα προσευχῆς πυριπνόου
χαῖρε Βάκχε σύ καθεῖλες τάς ὁρμάς τοῦ ἐκνόου.
Χαῖρε ὁ διαπτύσας τήν ὀφρύν παρασήμων
χαῖρε ὁ ἀλογήσας τούτων ὥσπερ ὄντως ἀσήμων.
Χαῖρε Σέργιε φωτόφθαλμε,μᾶλλον ὅλος ὀφθαλμός
χαῖρε Βάκχε,ὥσπερ ἄνθρακος ἡ εὐχή σου ποταμός,
Βάκχε Σέργιε χαίρετε.

Ζώωσον τάς καρδίας,Ζωοδότα ἐβόων,ὁ Σέργιος ἅμα τῷ Βάκχῳ.'Ιδού νῦν πρόκειται ἡμῖν ἀγών ὁ κράτιστος,διό τάς ἰγνύας ἡμῶν στήριξον,ὁ τά σφυρά τονίζων τῶν φαλλόντων,
'Αλληλούϊα.

Ηφατο τῶν συνάθλων ἡ Χριστόδωρος Χάρις,καί ἔδειξε τούτους ἀπροσμαχήτους. Καί γάρ ἔφη ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος,διδόναι Πνεῦμα δυνάμεως τοῖς ἑαυτοῦ Μάρτυσι,πρός οὕς ἡμεῖς νῦν χαίροντες οἰκολογοῦμεν·

Χαῖρε ἡ συναδελφία,τήν ὁδόν Χριστοῦ βαδίσασα
χαῖρε ξοανομανίας αἰσχρόν σέβας πατήσασα.
Χαῖρε Σέργιε τοῦ πάθους τοῦ Κυρίου μιμητά
χαῖρε Βάκχε ψευδοθέου Βάκχου ἐξολοθρευτά.
Χαῖρε τήν πορείαν ἄνω πρός Θεόν σου ἰθύνας
χαῖρε τήν ὁμωνυμίαν βακχικήν ἀποπλύνας.
Χαῖρε Σέργιε ὡς ἄχθος μανιάκην λογισάμενος
Χαῖρε Βάκχε τήν ἐσθῆτα ὡς πορφύραν ἐνδυσάμενος.
Χαῖρε,ὅτι χαρμοσύνως σιδηροῦς κλοιούς ἐφόρεσας
χαῖρε,ὅτι διά τοῦτο τῷ Χριστῷ πάνυ ἤρεσας.
Χαῖρε Σέργιε ὡς ἔχων χείλεσιν εὐχαριστίαν
χαῖρε Βάκχε καί συνδέχου τήν πιστῶν πανευφημίαν,
Βάκχε Σέργιε χαίρετε.

www.tezaurliturgic.ro

Θ ῦσον Σέργιε, Βάκχε καί εὐθύς μέγας ἔσῃ, ἐβόα τύραννος μάτην μέγα. Ἀλλ' ὑμεῖς οὐκ εἴχετε οὖς κλῖνον τῇ ἀλογίᾳ καί πειθόμενον, ὡς μόνην θυσίαν εἰδότες λογικήν τῷ ἀληθινῷ Θεῷ ψάλλειν τό,

Ἀλληλούϊα.

Π ριδα κατιδόντες οὐρανῶν βασιλείας, ἐν μέσῳ σκιᾶς θανάτου, ὡς ἐν παμφώτῳ κληρουχίᾳ ἐπορεύθητε, Αὐτόν καί φῶς καί ὁδηγόν κατέχοντες, μεθ' οὗ νῦν συνοικοῦντες ἀκούετε ταῦτα·

Χαῖρε φωτός μέτοχε τοῦ ἀκτίστου
χαῖρε τῆς Βασιλείας τρυφητά τῆς ἀλήκτου.
Χαῖρε Σέργιε ἱμάτιον σωτηρίας ἐνδυθείς
χαῖρε Βάκχε τόν χιτῶνα τῆς ζωῆς περιβληθείς.
Χαῖρε ὁ ὑπαλείπτην τόν Δαβίδ ψάλτην ἔχων
χαῖρε ὁ δαιμόνων πλάνην τοῖς ψαλμοῖς ἐξελέγχων.
Χαῖρε Σέργιε πηρώσας τόν πηρώσαντα ἐχθρόν
χαῖρε Βάκχε διανοίας σείσας εἰδωλομανῶν.
Χαῖρε ὕδασι τήν δόξαν ἀπεικάσας ρεόντων
χαῖρε ἅλμασιν ἀνῆλθες πρός αὐλάς τῶν μενόντων.
Χαῖρε Σέργιε πολίτην ἔχει σε ὁ οὐρανός
χαῖρε Βάκχε καί εὐφραίνου σέ ἐδέχθη ὁ Χριστός

Βάκχε Σέργιε χαίρετε.

Κ έρδος ἡμῖν τό πάσχειν καί Χριστῷ συμμορφοῦσθαι, ἀκούσατε, ὦ ματαιολόγοι. Διό, πῦρ, μάστιγες, ξῖφος καί ἀρθρέμβολα ἡμᾶς εἰ καί δέξονται, οὐκ ἄν δυνήσωνται χωρίσαι τῆς ᾠδῆς τοῦ εὐφροσύνου,

Ἀλληλούϊα.

Ἠ ύκων καθάπερ μέσον, οἱ κριοί τοῦ Κυρίου, εὑρέθησαν καθομολογοῦντες, παρρησίᾳ τό τῆς Ἐνανθρωπήσεως μέγα μυστήριον, δι' οὗ τό σαθρόν τεῖχος τῆς ψευδοθεΐας ἀπρίξ καθεῖλον, ὅθεν ἀνευφημοῦνται παρ' ἡμῶν ὡς θεολόγοι·

Χαῖρε Υἱόν Ὑψίστου τόν Χριστόν ὁ κηρύξας
χαῖρε Παρθένου Κόρης τό μυστήριον δείξας.
Χαῖρε Σέργιε θεόφρον μαθητά τοῦ Παρακλήτου
χαῖρε Βάκχε μῦστα θεῖε θαύματος τοῦ ἀπορρήτου.

www.tezaurliturgic.ro

Χαῖρε ὁ Θεόν μόνον τήν Τριάδα ἐξειπών
χαῖρε τῆς Θεανθρωπίας τήν δυάδα φανερῶν.
Χαῖρε Σέργιε ἐφάνης στόμα ὄντως Κυρίου
χαῖρε Βάκχε,ὅτι πλάνην ἔβαλες ἀλιτηρίου.
Χαῖρε,ὅτι τῆς εἰρήνης ἐζώσθης τήν μάχαιραν
χαῖρε,ὅτι τῆς ἐλπίδος ἐγνώρισας τήν ἄγκυραν.
Χαῖρε Σέργιε ἡ σάλπιγξ τῆς Χριστοῦ παρρησίας
χαῖρε Βάκχε ἡ κιννύρα τῆς φρικτῆς Παρουσίας

Βάκχε Σέργιε χαίρετε.

Μέλλοντες ἀπολαῦσαι τῶν ἡμῖν χαρισμάτων,αἱρούμεθα κολάσεων φρικτοτάτων.Καί γάρ,τύραννε,διά Χριστόν παροπτέα ἅπαντα,ὅτι ἐντεῦθεν ἤδη προενωτιζόμεθα τῆς χαρμοσύνης,ἥν σύν Ἀγγέλοις ἕξομεν ᾄδοντες·

Ἀλληλούϊα.

Νήπιοι γεγονότες,τήν σοφίαν πατοῦμεν,ἥ μέλλει ἐκποδών καταργεῖσθαι. Τῆς Σοφίας ὅθεν τῆς ἀληθινῆς οἶκοι γεγονότες ἀποπτύομεν τήν μωροεσχελείαν,ὅπως ἐπαξίως ἀκουσώμεθα παρά τῶν φιλομαρτύρων·

Χαῖρε δυάς ἡ φιλοσοφωτάτη
χαῖρε λαμπάς ἡ παμφαεστάτη.
Χαῖρε Σέργιε ὑπέρμαχε τῆς Σοφίας τοῦ Θεοῦ
χαῖρε Βάκχε ἀνεδείχθης τέμενος λαμπρόν Χριστοῦ.
Χαῖρε τήν τῶν ὄντων φύσιν τῷ Εὐαγγελίῳ στήσας
χαῖρε τῶν ἐπουρανίων τήν ζωήν μελετήσας.
Χαῖρε Σέργιε τῇ ἀλύσει κατεδέσμευσας πλάνον
χαῖρε Βάκχε τῇ σειρᾷ σου ἐμιμήσω τόν Παῦλον.
Χαῖρε κεραννύς τοῖς πᾶσι τήν ἑπτάδωρον Χάριν
χαῖρε σῇ ὁμολογίᾳ κατενάρκησας Ἄρη.
Χαῖρε Σέργιε παντί που σεμνυνόμενος ὕμνοις
χαῖρε Βάκχε ὁ ἐξάγων ὑμνητάς σκοτομήνης

Βάκχε Σέργιε χαίρετε.

www.tezaurliturgic.ro

Ξένη ὄψις τό σθένος ἀνεπτέρωσεν ἄμφω σταλεῖσα ἐκ Θεοῦ οὐρανόθεν, διό πόθον τῷ πόθῳ ἐπεισάγοντες, τό πῦρ ἀνενεώσατε τῆς φιλομαρτυρίας, ψάλλοντες ὁμόψυχοι τό,

'Αλληλούϊα.

Ὅλην ἔχοντες ἄνω τήν καρδίαν ἀνδρεῖοι, ὁδόν τοῦ μαρτυρίου προθύμως, ὡς ἐπί πάντα πλοῦτον ἄγουσαν, εἰς Βαρβαλισσόν ἐπορεύθητε, ἐν ᾗ καί τῷ θεάτρῳ ἀπαχθέντες ἀκούετε ἐκ τῶν 'Αγγέλων ταῦτα·

Χαῖρε ἡ ἀγγελόφρων δυάς καί πανθαύμαστος
χαῖρε τῶν ἀριστάθλων λυχνία ὑπέρφωτος.
Χαῖρε Σέργιε γλυκεῖαν ὑπενόεις τήν πανήγυριν.
χαῖρε Βάκχε εὐφημοῦσαν ἔσχες πᾶσαν τήν ὁμήγυριν.
Χαῖρε μάρτυς ζωηφόρε, κατενίκησας τόν θάνατον
χαῖρε ἀθλητά θεόφρον, εὗρες στάσιν τήν ἀθάνατον.
Χαῖρε Σέργιε ἠκούσθη ἡ σεπτή σου προσευχή
χαῖρε Βάκχε ἐτελέσθη εὐθύς ἔργον ἡ εὐχή.
Χαῖρε, ὅτι ἐξ 'Αγγέλου εἴληφας κλῆσιν βεβαίαν
χαῖρε, ὅτι οὐρανόθεν ἐπλουτίσθης ζωήν νέαν.
Χαῖρε Σέργιε ὁπλῖτα εἰρηνοπολέμου θείου
χαῖρε Βάκχε στρατιῶτα κλήσεως ἐπουρανίου

Βάκχε Σέργιε χαίρετε.

Ρέει ὡς ὕδωρ τό σόν αἷμα, ὦ Βάκχε, ὑπό τεσσάρων σου τυπτομένου, πλήν ὅμως, ὡς ἄλλου τινος πάσχοντος, ὑπέμεινας ἐν ἀγαλλιάσει, ὅθεν σοι πίστει βοῶμεν·

Χαῖρε μάρτυς καρτερόψυχε, σοί ἠνοίχθη οὐρανός
χαῖρε ἀθλητά τρισόλβιε, σέ κατέστεψε Χριστός.
Χαῖρε ὡς ὁ Πρωτομάρτυς τόν Σωτῆρα κατεῖδες
χαῖρε ὅτι τῶν παρόντων τά δεσμά νῦν καθεῖλες.
Χαῖρε ἐν τοῖς μέλεσί σου ἡγιάσθη ὁ ἀήρ
χαῖρε τήν ὑπομονήν σου προσεδέξατο Πατήρ.
Χαῖρε, ὅτι τόν Σατάν ἐν τοῖς ρύαξί σου ἔπνιξας
χαῖρε, ὅτι ἐπί ταῖς βασάνοις πλείστας ἄλλας ἐξεζήτησας.

www.tezaurliturgic.ro

Χαῖρε ὅτι ἐπεγένου τῶν 'Αγγέλων χαρά
χαῖρε,ὅτι ἀνεδείχθης τῶν δαιμόνων φθορά.
Χαῖρε ὥσπερ ἄνθος ἦρος εἶχες τάς φρικτάς βασάνους
χαῖρε,ὅτι μέγα ἀνιᾶται,τιμωμένου σου ὁ ἄνους
Χαῖρε Βάκχε πολύαθλε.

Στέργε Σέργιε πόνους,ὁ καιρός σου ἰδού ἦλθεν,ἐν ᾧ ούδέν ἐπαισθήσῃ, χάριτός σοι δοθησομένης,καί ὡς ἐνταῦθα ἔφυμεν σύμψυχοι,καί στέφανον κοινόν ληψόμεθα μετά τῶν προμαρτύρων,ᾄδοντες τό

'Αλληλούϊα.

Ταῦτα οὖν ἐνωτισθέντος τοῦ Σεργίου ἠνέχθη ψυχή συναθλητοῦ εἰς τόν θρόνον,τοῦ 'Αρνίου τοῦ προσκυνητοῦ,οὗ ψυχαί Μαρτύρων πλῆθος Βάκχον ὑπεδέχθησαν καί πρός αὐτόν ἐβόων ταῦτα·

Χαῖρε Βάκχε,προσετέθης εἰς τό ἅρμα τοῦ Θεοῦ
χαῖρε καί γάρ ἀναμένεις παρουσίαν τοῦ Κριτοῦ.
Χαῖρε,ἴδε αἷμα ὅτι ούδέν πρός τήν δόξαν
χαῖρε,εἰδώλων "Υδρας κεφαλάς ξῖφος κόψαν.
Χαῖρε,ὅτι μείζω ὄψει,ὡς ὁ Κύριος ἔφη
χαῖρε,ὅτι ἀρραβών σοι ἐπεδόθη τά προκείμενα στέφη.
Χαῖρε,ὅρα λείψανόν σου ὅσης ἔχεται τιμῆς
χαῖρε,ὅτι καί θηρία ἐπαισθάνονται αὐτῆς.
Χαῖρε σοι ὡς δορυφόροι ἦλθεν ἄλογος φύσις
χαῖρε,ὅτι θεομάχους ἐξελέγχει ἡ κτίσις.
Χαῖρε νῦν ἐδείχθης μαρτυρέας κλεινός στύλος
χαῖρε,ὅτι δσονούπω οἴχεται ἐνταῦθα φίλος
Χαῖρε Βάκχε πολύαθλε.

Ὑποδεῖται ὀξέσιν ὑποδήμασιν αὖθις,ὁ Σέργιος ὁ τροπαιοφόρος,καί ἐλπίδι τῆς δόξης τρέχει ὡς ὀξύπτερος τόν Κύριον ὑπομένων τόν δι' ἡμᾶς ἡλόπηκτον,"Ος θεραπεύσας τάς αὐτοῦ πληγάς,ἀκούει εὐγνωμόνως τό,

'Αλληλούϊα.

+

www.tezaurliturgic.ro

Φίλημά σοι δεδώκει νοερά τις οὐσία,δηλοῦσα ἐσομένην ἀξίαν,καί ὡς ἀετός τάς πληγάς ἀποξυσάμενος,πομπῆ καθάπερ ἱερά πρός τόν Χριστόν ἐχώρησας,διό ἀκούεις μάρτυς Σέργιε Χριστοφόρε·

Χαῖρε Σέργιε καί λάβε τήν τομήν ἐκ τοῦ ξίφους
χαῖρε θῦμα Κυρίου ἐξελθών τοῦ κελύφους.
Χαῖρε ὑπέρ τιμωρούντων εὐχηθείς ἐκ καρδίας
χαῖρε τοῦτο ὄντως δεῖγμα τῆς καλῆς μαρτυρίας.
Χαῖρε πλήθους ἐφάνης δόξα,θαῦμα,χαρά,νίκη
χαῖρε Πνεύματος θείου ποθητή μυροθήκη.
Χαῖρε ὥσπερ τόν Βάκχον σέβονταί σε θηρία
χαῖρε τοῦτο σημεῖον ὡς τιμή ἔσται μία.
Χαῖρε Ρωσαφών ὁ πόθος καί ἡ καύχησις Σουρών
χαῖρε συγκαλεῖς πρός αἶνον Ἐπισκόπων τόν ἑσμόν

Χαῖρε Σέργιε πολύαθλε.

Χάριν εἴληφας θείαν τῶν θαυμάτων Μαρτύρων δυάς ἱερωτάτη καί πᾶσι τοῖς τιμῶσι σου τά Λείψανα τά σεπτά,αἰτήματα πληροῖς ἅπαντα καί εὐχαρίστως ὅθεν δέχῃ αἶνον,

Ἀλληλούϊα.

Ψάλλοντάς σου τούς ἄθλους,ἐκ καρδίας τούς θείους,εὐλόγει ἡ κλεινή μαρτυρία,καί γάρ οἶσθα καλῶς,ὅτι θάλασσα ὁ παρών βίος πολυκύμαντος,ἐν ᾗ τόν πλοῦν ποιούμενοι σοί εὐγνωμόνως ὁμοθυμαδόν βοῶμεν·

Χαῖρε τύπος ἀνεφάνης συμψυχίας ἐν Χριστῷ
χαῖρε χάρμα φιλαδέλφου ἁρμονίας ἐν Αὐτῷ.
Χαῖρε Σέργιε πρῶτε κάτω καί ἐν οὐρανοῖς
χαῖρε Βάκχε καί σύ πρῶτε τάξεως μαρτυρικῆς.
Χαῖρε τῶν στρατευομένων ἡ καλή προστασία
χαῖρε τῶν πολεμουμένων ἀγαθή παρρησία.
Χαῖρε Σέργιε,τῷ ξίφει τούς ἐχθρούς πόρρω κράτει
χαῖρε Βάκχε,τοῖς βουνεύροις δός πολλάς ἀντιπράττῃ.

www.tezaurliturgic.ro

Χαῖρε ἔρωτος θείου ὑπερτέλειος εἰκών
χαῖρε πόθου οὐρανίου ἀνυπέρβλητος κανών.
Χαῖρε Σέργιε χαίρων, προνοῦ συνωνύμων
χαῖρε Βάκχε χορεύων, ἐνθυμοῦ χριστωνύμων
Βάκχε Σέργιε χαίρετε.

97

Ὦ Μαρτύρων ἀρίστη καί φιλάδελφος κλῆσις, ὁ Βάκχος σύν τῷ θείῳ Σεργίῳ(γ.) τῶν ὑμνούντων νῦν προσδέξασθε ᾠδάς, καί δεινῶν ποικίλων ῥύσασθε τούς μέλποντας, ἵνα ὁμοῦ προσάξωμεν τόν ὕμνον τῷ κοινῷ Δεσπότῃ·
Ἀλληλούϊα.

καί αὖθις τό Κοντάκιον,

Τούς ἀλογήσαντας στρατείας ἐπικήρου
καί τῷ Χριστῷ ὡς βασιλεῖ ὑποταγέντας
τῶν αἱμάτων χύσει δέ μάρτυρας ὀφθέντας
ἀνυμνήσωμεν πιστοί τούτοις κραυγάζοντες
νῦν προσδέξασθε τούς οἴκους οὕς προσάγομεν καρτερόψυχοι,
Βάκχε Σέργιε χαίρετε.

Στίχοι

Οἰκολογοῦντας ἄξατε εἰς οἶκον Βασιλείας
Μάρτυρες θεοφίλητοι, κλειδί ὑμῶν πρεσβείας.

+ Ἱερά Μονή Σίμωνος Πέτρας +
Ἅγιον Ὄρος Ἄθως
4.3.1987
+ + +
+ +
+

ΒΙΒΛΙΟΘΗΚΗ
Ι. Μ. ΣΙΜΩΝΟΠΕΤΡ